**ΑΡΧΑΙΑ ΕΛΛΗΝΙΚΑ ΘΕΩΡΗΤΙΚΗΣ ΚΑΤΕΥΘΥΝΣΗΣ**
**ΗΜΕΡΗΣΙΟΥ ΓΕΝΙΚΟΥ ΛΥΚΕΙΟΥ 2012**

## Διδαγμένο κείμενο
## Ἀριστοτέλους *Ἠθικὰ Νικομάχεια* (Β3, 1-2/Β6, 1-4)

Σημεῖον δὲ δεῖ ποιεῖσθαι τῶν ἕξεων τὴν ἐπιγινομένην ἡδονὴν ἢ λύπην τοῖς ἔργοις· ὁ μὲν γὰρ ἀπεχόμενος τῶν σωματικῶν ἡδονῶν καὶ αὐτῷ τούτῳ χαίρων σώφρων, ὁ δ' ἀχθόμενος ἀκόλαστος, καί ὁ μὲν ὑπομένων τὰ δεινὰ καὶ χαίρων ἢ μὴ λυπούμενός γε ἀνδρεῖος, ὁ δὲ λυπούμενος δειλός. Περὶ ἡδονὰς γὰρ καὶ λύπας ἐστὶν ἡ ἠθικὴ ἀρετή· διὰ μὲν γὰρ τὴν ἡδονὴν τὰ φαῦλα πράττομεν, διὰ δὲ τὴν λύπην τῶν καλῶν ἀπεχόμεθα. Διὸ δεῖ ἦχθαί πως εὐθὺς ἐκ νέων, ὡς ὁ Πλάτων φησίν, ὥστε χαίρειν τε καὶ λυπεῖσθαι οἷς δεῖ· ἡ γὰρ ὀρθὴ παιδεία αὕτη ἐστίν.

Δεῖ δὲ μὴ μόνον οὕτως εἰπεῖν, ὅτι ἕξις, ἀλλὰ καὶ ποία τις. Ῥητέον οὖν ὅτι πᾶσα ἀρετή, οὗ ἂν ᾖ ἀρετή, αὐτό τε εὖ ἔχον ἀποτελεῖ καὶ τὸ ἔργον αὐτοῦ εὖ ἀποδίδωσιν, οἷον ἡ τοῦ ὀφθαλμοῦ ἀρετὴ τόν τε ὀφθαλμὸν σπουδαῖον ποιεῖ καὶ τὸ ἔργον αὐτοῦ· τῇ γὰρ τοῦ ὀφθαλμοῦ ἀρετῇ εὖ ὁρῶμεν. Ὁμοίως ἡ τοῦ ἵππου ἀρετὴ ἵππον τε σπουδαῖον ποιεῖ καὶ ἀγαθὸν δραμεῖν καὶ ἐνεγκεῖν τὸν ἐπιβάτην καὶ μεῖναι τοὺς πολεμίους. Εἰ δὴ τοῦτ' ἐπὶ πάντων οὕτως ἔχει, καὶ ἡ τοῦ ἀνθρώπου ἀρετὴ εἴη ἂν ἡ ἕξις ἀφ' ἧς ἀγαθὸς ἄνθρωπος γίνεται καὶ ἀφ' ἧς εὖ τὸ ἑαυτοῦ ἔργον ἀποδώσει. Πῶς δὲ τοῦτ' ἔσται,... ὧδ' ἔσται φανερόν, ἐὰν θεωρήσωμεν ποία τίς ἐστιν ἡ φύσις αὐτῆς.

**Α1.** Από το παραπάνω κείμενο να γράψετε στο τετράδιό σας τη μετάφραση του αποσπάσματος:
**«Περὶ ἡδονὰς γὰρ ... τὸ ἑαυτοῦ ἔργον ἀποδώσει.»**
**Μονάδες 10**

**Β.** Να απαντήσετε στις ακόλουθες ερωτήσεις:

**Β1.** Ποια είναι η σχέση ηθικής αρετής και ηδονής-λύπης και πώς την εξηγεί ο Αριστοτέλης στο κείμενο που σας δίνεται; **Μονάδες 15**

**Β2.** **Ἕξις, ἀρετή, ἔργον**: α) να προσδιορίσετε το περιεχόμενο των όρων (μονάδες 9) και β) να εξηγήσετε τη μεταξύ τους σχέση με βάση το κείμενο που σας δίνεται (μονάδες 6). **Μονάδες 15**

**Β3.** Ποια ήταν η σχέση του Αριστοτέλη με τους συναδέλφους του στην Ακαδημία και πώς αυτή εξηγείται; **Μονάδες 10**

**Β4.** Να βρείτε στο παραπάνω διδαγμένο κείμενο μία ετυμολογικά συγγενή λέξη, απλή ή σύνθετη, για καθεμιά από τις παρακάτω λέξεις της νέας ελληνικής:
**σχεδόν, αχάριστος, ασήμαντος, ενδεής, πρόφαση, διαμονή, άρτιος, τελεσίδικος, δημαγωγός, καταδρομικό.** **Μονάδες 10**

## Γ. Αδίδακτο κείμενο
## Θουκυδίδου *Ἱστοριῶν* VII, 61

Ἄνδρες στρατιῶται Ἀθηναίων τε καὶ τῶν ἄλλων ξυμμάχων, ὁ μὲν ἀγὼν ὁ μέλλων ὁμοίως κοινὸς ἅπασιν ἔσται περί τε σωτηρίας καὶ πατρίδος ἑκάστοις οὐχ ἧσσον ἢ τοῖς πολεμίοις· ἢν γὰρ κρατήσωμεν νῦν ταῖς ναυσίν, ἔστι τῳ τὴν ὑπάρχουσάν που οἰκείαν πόλιν ἐπιδεῖν. ἀθυμεῖν δὲ οὐ χρὴ οὐδὲ πάσχειν ὅπερ οἱ ἀπειρότατοι τῶν ἀνθρώπων, οἳ τοῖς πρώτοις ἀγῶσι σφαλέντες ἔπειτα διὰ παντὸς τὴν ἐλπίδα τοῦ φόβου ὁμοίαν ταῖς ξυμφοραῖς ἔχουσιν. ἀλλ’ ὅσοι τε Ἀθηναίων πάρεστε, πολλῶν ἤδη πολέμων ἔμπειροι ὄντες, καὶ ὅσοι τῶν ξυμμάχων, ξυστρατευόμενοι αἰεί, μνήσθητε τῶν ἐν τοῖς πολέμοις παραλόγων.

**Γ1.** Να γράψετε στο τετράδιό σας τη μετάφραση του παραπάνω κειμένου. **Μονάδες 20**

**Γ2.** Να γράψετε στο τετράδιό σας τον τύπο που ζητείται για καθεμιά από τις παρακάτω λέξεις:

| | | |
|---|---|---|
| **ἀγὼν** | : | την αιτιατική πληθυντικού |
| **ναυσίν** | : | την κλητική ενικού |
| **ὅπερ** | : | τη δοτική πληθυντικού στο θηλυκό γένος |
| **πρώτοις** | : | τον ίδιο τύπο στον συγκριτικό βαθμό |
| **σφαλέντες** | : | τη δοτική πληθυντικού στο ίδιο γένος |

| | | |
|---|---|---|
| **κρατήσωμεν** | : | το β´ ενικό πρόσωπο της προστακτικής του ενεστώτα στην ίδια φωνή |
| **ἐπιδεῖν** | : | το απαρέμφατο του ενεστώτα στην ίδια φωνή |
| **πάσχειν** | : | το γ´ ενικό πρόσωπο της οριστικής του μέλλοντα |
| **ἔχουσιν** | : | το α´ ενικό πρόσωπο της ευκτικής του αορίστου β´ στην ίδια φωνή |
| **μνήσθητε** | : | το γ´ πληθυντικό πρόσωπο της οριστικής του ίδιου χρόνου. **Μονάδες 10** |

**Γ3α.** Να γίνει πλήρης συντακτική αναγνώριση των παρακάτω τύπων:

**στρατιῶται, τῳ, ἀθυμεῖν, τῶν ἀνθρώπων, ταῖς ξυμφοραῖς, τῶν παραλόγων** (μονάδες 6).

**Γ3β.** **«ἢν κρατήσωμεν ταῖς ναυσίν, ἔστι τῳ τὴν ὑπάρχουσάν που οἰκείαν πόλιν ἐπιδεῖν»**: να μεταφέρετε το παραπάνω χωρίο στον πλάγιο λόγο (και με τους δύο τρόπους) εξαρτώντας το από τη φράση «**Ὁ Νικίας εἶπεν**» (μονάδες 4). **Μονάδες 10**